συνθορύζων δέ, ψιθυρίζων. ἠρέμα γογγύζων. ἢ λάθρα φθεγγόμενος. ὑποτρέμων. τὰ χείλη κινῶν. τὸ δὲ πολλὰ πράττων, ἢ ἀντὶ τοῦ χαίρεις συνθορύζων ἡνίκα πολλὰ μοχθηρὰ κελεύοντος τοῦ δεσπότου νοητέον. ἢ οὕτω, τὸ δὲ χαίρεις πολλὰ πράττων, ἤγουν πάσχων ἢ μοχθῶν. ἵν' ᾖ ὁ τοῦ Αἰακοῦ λόγος κατ' εἰρωνείαν. ἢ τοῦ οἰκέτου λέγοντος οὕτω χαίρω ὡς μὰ τὸν Δία οὐδὲν ἄλλο οἶδα εἰς ὃ
A χαίρω ἐγώ. Ὁμόγνιε Ζεῦ.] τὴν ὁμοιότητα θαυμάζων λέγει. οἷον, ὦ ὁμοιότητος. τὸ δὲ παρακούων, οὐχ ὡς ἡμεῖς εἰώθαμεν λέγειν, καταφρονῶν τῶν λεγομένων, παρὰ τῶν δεσποτῶν. ἀλλ' ἴσως τὸ, λάθρα ἐπακροώμενος. ἔνθεν καὶ ὠτακουστὰς οἱ Ἀττικοί φασι. τὸ δὲ πλεῖν ἢ μαίνομαι, ἀντὶ τοῦ ἐξανίσταμαι ἑαυτοῦ ἐκ τῆς ἀξίας.

Μὰ Δί', ἀλλ' ὅταν δρῶ τοῦτο, κἀκμιαίνομαι.
Ξαν. Ὦ Φοῖβ' Ἄπολλον, ἔμβαλέ μοι τὴν δεξιάν,
Καὶ δὸς κύσαι, καὐτὸς κύσον, καί μοι φράσον
Πρὸς Διός, ὃς ἡμῖν ἐστιν ὁμομαστιγίας,
Τίς οὗτος οὕνδον ἐστὶ θόρυβος, χ' ἡ βοή;
Χὠ λοιδορισμός; Αἰ. Αἰσχύλου κ' Εὐριπίδου.
Ξα. Ἆ. Αἰ. πρᾶγμα γὰρ κεκίνηται μέγα
Ἐν τοῖς νεκροῖσι, καὶ στάσις πολλὴ πάνυ.
Ξαν. Ἐκ τοῦ; Αἰακ. νόμος τις ἐνθάδ' ἐστὶ κείμενος,
Ἀπὸ τῶν τεχνῶν, ὅσαι μεγάλαι καὶ δεξιαί,
Τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ συντέχνων,
Σίτησιν αὐτὸν ἐν Πρυτανείῳ λαμβάνειν.
Θρόνον τε, τοῦ Πλούτωνος ἑξῆς. Ξαν. μανθάνω.
Αἰα. Ἕως ἀφίκοιτο τὴν τέχνην σοφώτερος
Ἕτερός τις αὐτοῦ. τότε δὲ παραχωρεῖν ἔδει.
Ξαν. Τί δῆτα τουτὶ τεθορύβηκεν Αἰσχύλον;
Αἰα. Ἐκεῖνος εἶχε τὸν τραγῳδικὸν θρόνον,
Ὡς ὢν κράτιστος τὴν τέχνην. Ξανθ. νυνὶ δὲ τίς;
Αἰα. Ὅτε δὴ κατῆλθεν Εὐριπίδης, ἐπεδείκνυτο
Τοῖς λωποδύταις καὶ τοῖς βαλαντιτόμοις
Καὶ τοῖσι πατραλοίαισι καὶ τοιχωρύχοις,
Ὅπερ ἐστ' ἐν ᾅδου πλῆθος. οἱ δ' ἀκροώμενοι
Τῶν ἀντιλογιῶν, καὶ λυγισμῶν, καὶ στροφῶν,
Ὑπερεμάνησαν, κἀνόμισαν σοφώτατον.
Κἄπειτ' ἐπαρθεὶς, ἀντελάβετο τοῦ θρόνου,
Ἵν' Αἰσχύλος καθῆστο. Ξαν. κοὐκ ἐβάλλετο;
Αἰα. Μὰ Δί', ἀλλ' ὁ δῆμος ἀνεβόα κρίσιν ποιεῖν
Ὁπότερος εἴη τὴν τέχνην σοφώτερος.

*Vt qui Venere sese potitum somniat.*
B XA. *O Phœbe Apollo, cedò mihi dexteram tuã:*
*Vt osculer, & ipse osculare: & dic mihi,*
*Per verberonem illum, socium nostrum, Iouem,*
*Quis hic intus tumultus? quis clamor oritur?*
*Quænam iurgatio?* ÆA. *Æschyli atque Euripidis.*
XA. *Hem.* ÆA. *quippe magnus nuper motus extitit:*
*Et nimiùm dira seditio, hîc apud inferos.*
C XA. *At vnde?* ÆA. *lex quædam hîc lata est, vt qui optimè*
*Calleret aliquam, ex magnis atque industriis*
*Artibus, & in eadem alÿs longè excelleret:*
*Is victum in Prytaneo capiat, atque solio*
*Plutonis deinceps insideat.* XA. *intelligo.*
ÆA. *Donec quis adueniat alius, qui doctiùs*
*Illam artem calleat: & tum cedere opus erit.*
D XA. *Quamobrem verò isthuc turbauit Æschylum?*
ÆA. *Prior ille habebat Tragicam sedem, vt qui optimus*
*In ea esset arte.* XA. *quis autem nunc primas habet?*
ÆA. *Postquam huc Euripides descendit, illicò*
*Ostensus est crumenarum incisoribus,*
*Prædonibus, parietum perfossoribus,*
E *Et parricidis, quorum hîc infinitus est*
*Numerus. Illi vbi perceperunt cantus, strophas,*
*Contradictiones: suprà quàm dici queat*
*Furentes, iudicarunt sapientissimum*
*Euripidem: atque ille elatus sedem Æschyli*
*Prehendit.* XA. *an non inde deturbatus est?*
ÆA. *Non sanè: sed populus iudicio censuit*
*Rem committendam, vter artis sit peritior.*

F

Σχόλια. Κἀκμιαίνομαι.] οὕτως ἔλεγον τὸ ἀποσπερματίζειν ὡς οἱ ὀνειρώττοντες. τοῦτο οὖν φησιν ὅτι ἥδομαι ὡσανεὶ ἀποσπερματίζων. Ὁμομαστιγίας.] ὥσπερ φαμὲν ἑταιρεῖος Ζεὺς καὶ ὁμόγνιος καὶ ἱκέσιος καὶ ὅσα τοιαῦτα, οὕτω καὶ δούλιος ὁ τῶν δούλων ἔφορος. ἐπεὶ δὲ οἱ δοῦλοι μάστιξιν ὑπόκεινται καὶ πληγαῖς, διὰ τοῦτο ὁμομαστιγίας εἶπεν, ἢ βουλόμενος εἰπεῖν ὃς ἡμᾶς νῦν εἰσήγαγε, παίζων παρ' ὑπόνοιαν εἶπεν ὁμομαστιγίας. ἄλλως. ἀντὶ τοῦ εἰπεῖν ὁμόγνιος, ὡς ἔμπροσθεν. ἢ ὁμάδελφος. λέγει οὖν ὁμόδουλος. στικτέον δὲ ἐπὶ τοῦ μαστιγίας. μέλλων γὰρ αὐτοῦ πυνθάνεσθαι περί τινος πράγματος δουλικοῦ, σιωπᾷ, ἀκούσας ἔνδον γινομένου θορύβου περὶ οὗ καὶ ἑξῆς πυνθάνεται. οὐ γὰρ ὁρκίζει αὐτὸν κατὰ τοῦ Διός, ἵνα εἴπῃ αὐτῷ περὶ τῆς ἔνδον βοῆς. δύναται δὲ συνάπτεσθαι καὶ ἀπὸ τοῦ καί μοι φράσον μέχρι τοῦ χὠ λοιδορισμός. Νόμος τις ἐνθάδ' ἐστί.] νόμος ἦν ἐν τῷ ᾅδῃ, τὸν βελτίονα ἄνδρα τῶν ἑαυτοῦ συντεχνῶν, ἐγγὺς τοῦ Πλούτωνος καθέζεσθαι. Σίτησιν αὐτόν.] ταῦτα μεταφέρει ἀπὸ τῶν ἐν Ἀττικῇ ἐθῶν, εἰς τὰ καθ' ᾅδου. Τοῦ Πλούτωνος ἑξῆς.] ἀντὶ τοῦ ἐγγὺς τοῦ θρόνου τοῦ Πλούτου. Βαλαντιτόμοις.] τοῖς τὰ βαλάντια τέμνουσιν ἃ ἐν ταῖς ζώναις ἀπεωρημένα φέρουσιν ἄνθρωποι. Τῶν ἀντιλογιῶν.] παρέστησιν αὐτοῦ τὸ περὶ τοὺς λόγους στερρόν. καὶ ἐν ἄλλοις, στρεψίμελος τὴν τέχνην Εὐριπίδης. Λυγισμῶν.] γράφεται καμπῶν τουτέστι παραλογισμῶν. τὸ δὲ κάμπτειν, ἅμα μὲν πρὸς τὰ μέλη. ἅμα δὲ πρὸς τὸ ἐξελίττειν καὶ ἀναδύεσθαι.
G Ὅμηρος. δίδει μόχοισι λύγοισι. Δίδυμος δέ, λυγισμῶν. ἀπὸ τῶν συνδέσεων τῶν λύγων. Ὑπερεμάνησαν.] ἀντὶ τοῦ λίαν ἐχάρησαν. τούτων γὰρ οἱ τοιοῦτοι ὀρέγονται, ἵν' ὁπότε φωραθῶσι κλέπτοντες διὰ τούτων τοὺς κεκρατηκότας φεύγωσι. διαβάλλει δὲ Εὐριπίδην ἐνταῦθα ὡς λίαν πανοῦργον καὶ τὰ τοιαῦτα ἐν τοῖς δράμασιν ἐπιτηδεύοντα. Οὐκ ἐβάλλετο.] λίθοις δηλονότι. εἶτα οὐκ ἐλιθοβολεῖτο φησὶ ποιήσας.